κατὰ πόλιν, ὕπαφρον ὄμμ᾽ ἔχων,
ῥακοδύτῳ στολᾷ
πυκασθείς, ξιφήρης
κρύφιος ἐν πέπλοις.
βίον δ᾽ ἐπαιτῶν εἷρπ᾽ ἀγύρτης τις λάτρις,
ψαφαρόχρουν κάρα πολυπινές τ᾽ ἔχων·
πολλὰ δὲ τὰν
βασιλίδ᾽ ἑστίαν Ἀτρειδᾶν κακῶς
ἔβαζε δῆθεν ἐχθρὸς ὢν στρατηλάταις.
ὄλοιτ᾽ ὄλοιτο πανδίκως,
πρὶν ἐπὶ γᾶν Φρυγῶν ποδὸς ἴχνος βαλεῖν.
ΗΜ. εἴτ᾽ οὖν Ὀδυσσέως εἴτε μή, φόβος μ᾽ ἔχει·
Ἕκτωρ γὰρ ἡμῖν τοῖς φύλαξι μέμψεται.
ΗΜ. τί λάσκων; ΗΜ. δυσοίζων.
ΗΜ. τί δρᾶσαι; τί ταρβεῖς;
ΗΜ. καθ᾽ ἡμᾶς περᾶσαι ΗΜ. τίν᾽ ἀνδρῶν;
ΗΜ. οἳ τῆσδε νυκτὸς ἦλθον εἰς Φρυγῶν στρατόν.
ΗΝ. ἰώ, δαίμονος τύχα βαρεῖα. φεῦ φεῦ.
ΧΟ. ἔα·
σῖγα πᾶς ὕφιζ᾽· ἴσως γὰρ εἰς βόλον τις ἔρχεται.
ΗΝ. ἰὼ ἰώ,
συμφορὰ βαρεῖα Θρῃκῶν. ΧΟ. συμμάχων τις ὁ στένων.
ΗΝ. ἰώ.
δύστηνος ἐγὼ σύ τ᾽, ἄναξ Θρῃκῶν·
ὦ στυγνοτάτην Τροίαν ἐσιδών,
οἷόν σε βίου τέλος εἷλεν.
ΧΟ. τίς εἶ ποτ᾽ ἀνδρῶν συμμάχων; κατ᾽ εὐφρόνην
ἀμβλῶπες αὐγαί, κοὔ σε γιγνώσκω τορῶς.

---

711. *πτόλιν A* (*C*?) 714. *κρύφιος*] Morstadtius, *κρυφαῖος* libri. 716. *κράτα* BC *πολυπινές*] apogr. Paris. libri *C πολυπινῆ* libri. 725. *δρᾶσαι*] L. Dindorfius, *δρᾷς* BC *A δρᾷς δή BC* 730. *ὕφιζος εἰς βόλον γὰρ ἴσως τις ἔρχεται* BC *ὕβριζ᾽ ἴσως γὰρ εἰς βόλον τις ἔρχεται A ὕβριζ᾽ ἴσως γὰρ εἰσβολή τις ἔρχεται BC ὕφιζ᾽* Reiskius. 731. *Θρῃκῶν ΧΟ. συμμάχων τις*] Hermannus, *θρῃκῶν συμμάχων. ΗΜ. τίς* libri. 734. *ἰδών* BC 737. *τορῶς* BC *ὅλως A ὅλως B* (?) *γρ. τορῶς* *τορῶς C*